μῦν πλέοντα καταπλὰς ἥρπασεν. ἐφέλκεται οὖν σὺν αὐτῷ καὶ ὁ βάτραχος. καὶ οὕτως ἀμφοτέρους διεσπάραξεν. οὕτως οὖν καὶ αὐτὸς παρ' ὑμῶν ἀθλίως ἀποθανών, νόμῳ ἐκδικηθήσομαι. βαβυλὼν γὰρ καὶ ἡ ἑλλὰς ὅλη τὸν ἐμὸν ἐκζητήσουσι θάνατον. τέλος δὲ ἀκούσαντες οἱ δέλφιοι, οὐκ ἐφείσαντο αὐτοῦ, ἀλλ' εἷλκον αὐτὸν ἐπὶ τὸν κρημνόν. τοῦ δὲ αἰσώπου δραμόντος καὶ ἐπὶ τὸ ἱερὸν τοῦ ἀπόλλωνος καταφυγόντος, οὐκ ἠλέησαν, ἀλλ' ἐκβαλόντες αὐτὸν, εἷλκον μετ' ὀργῆς εἰς τὸ κρημνίσαι. ἀπαγόμενος δὲ ὁ αἴσωπος ἔφη, ἀκούσατέ μου ἀδελφοὶ δέλφιοι, λαγωὸς ποτὲ ὑπὸ ἀετοῦ διωκόμενος κατέφυγεν εἰς κοίτην κανθάρου, δεόμενος αὐτοῦ διασωθῆναι. ὁ δὲ κάνθαρος ἱκέτευε τὸν ἀετὸν μὴ ἀνελεῖν τὸν ἱκε-